# XENOPHON'S AGESILAUS; WITH SYNTAX RULES AND REFERENCES, NOTES AND INDICES

Published @ 2017 Trieste Publishing Pty Ltd

ISBN 9780649740314

Xenophon's Agesilaus; With Syntax Rules and References, Notes and Indices by Xenophon . & R. W. Taylor

Except for use in any review, the reproduction or utilisation of this work in whole or in part in any form by any electronic, mechanical or other means, now known or hereafter invented, including xerography, photocopying and recording, or in any information storage or retrieval system, is forbidden without the permission of the publisher, Trieste Publishing Pty Ltd, PO Box 1576 Collingwood, Victoria 3066 Australia.

All rights reserved.

Edited by Trieste Publishing Pty Ltd.
Cover @ 2017

This book is sold subject to the condition that it shall not, by way of trade or otherwise, be lent, re-sold, hired out, or otherwise circulated without the publisher's prior consent in any form or binding or cover other than that in which it is published and without a similar condition including this condition being imposed on the subsequent purchaser.

www.triestepublishing.com

XENOPHON . & R. W. TAYLOR

# XENOPHON'S AGESILAUS; WITH SYNTAX RULES AND REFERENCES, NOTES AND INDICES

Trieste

# XENOPHON'S

# AGESILAUS

*WITH SYNTAX RULES AND REFERENCES*

*NOTES AND INDICES*

BY

R. W. TAYLOR, M.A.

HEAD-MASTER OF KELLY COLLEGE, TAVISTOCK

AND FORMERLY FELLOW OF ST. JOHN'S COLLEGE, CAMBRIDGE

LIBRARY

UNIVERSITY

CALIFORNIA

RIVINGTONS

*WATERLOO PLACE, LONDON*

Oxford and Cambridge

MDCCCLXXX

PA4495
A5
1880
MAIN

# CONTENTS.

| | PAGE |
|---|---|
| TEXT, | 5 |
| SYNTAX RULES, | 41 |
| NOTES, | 57 |
| CHRONOLOGICAL TABLE, | 90 |
| INDICES, | 92 |

REESE LIBRARY OF THE UNIVERSITY OF CALIFORNIA.

# ΞΕΝΟΦΩΝΤΟΣ ΑΓΗΣΙΛΑΟΣ.

*** The numbers above the line refer to the Rules of Syntax which follow the text, and apply to the words that precede them.

## CHAPTER I.

### *AGESILAUS IN ASIA.*

*Noble descent of Agesilaus, the noblest of the noblest city in Greece.*

1. Οἶδα μὲν ὅτι[43b] τῆς Ἀγησιλάου ἀρετῆς τε καὶ δόξης οὐ ῥάδιον ἄξιον ἔπαινον γράψαι,[29a] ὅμως δ' ἐγχειρητέον. οὐ γὰρ ἂν καλῶς ἔχοι[73b] εἰ, ὅτι τελέως ἀνὴρ ἀγαθὸς ἐγένετο,[51] διὰ τοῦτο οὐδὲ μειόνων ἂν τυγχάνοι[54b] ἐπαίνων.[23] 2. περὶ μὲν οὖν εὐγενείας αὐτοῦ τί ἄν τις μεῖζον καὶ κάλλιον εἰπεῖν ἔχοι ἢ ὅτι ἔτι καὶ νῦν τοῖς προγόνοις ὀνομαζομένοις[19a, 60] ἀπομνημονεύεται ὁπόστος ἀφ' Ἡρακλέους ἐγένετο,[48] καὶ τούτοις οὐκ ἰδιώταις ἀλλ' ἐκ βασιλέων βασιλεῦσιν; 3. ἀλλὰ μὴν οὐδὲ ταύτῃ γ' ἄν τις ἔχοι[54b] καταμέμψασθαι[29a] αὐτοὺς ὡς βασιλεύουσι μέν,[43b] πόλεως[23] δὲ τῆς ἐπιτυχούσης· ἀλλ' ὥσπερ τὸ γένος αὐτῶν τῆς πατρίδος ἐντιμότατον, οὕτω καὶ ἡ πόλις ἐν τῇ Ἑλλάδι ἐνδοξοτάτη· ὥστε οὐ δευτέρων[23] πρωτεύουσιν, ἀλλ' ἡγεμόνων ἡγεμονεύουσι.

*The worth of the kingly race is shown by the permanence of the monarchy in Sparta.*

4. τῇδέ γε μὴν καὶ κοινῇ ἄξιον ἐπαινέσαι τήν τε πατρίδα καὶ τὸ γένος αὐτοῦ· ἥ τε γὰρ πόλις οὐδεπώποτε φθονήσασα τοῦ[23] προτετιμῆσθαι αὐτοὺς ἐπεχείρησε καταλῦσαι[29a] τὴν ἀρχὴν αὐτῶν, οἵ τε βασιλεῖς οὐδεπώποτε μειζόνων[23] ὠρέχθησαν ἢ ἐφ' οἷσπερ ἐξ ἀρχῆς τὴν βασι-

λείαν παρέλαβον. τοιγαροῦν ἄλλη μὲν οὐδεμία ἀρχὴ φανερά ἐστι διαγεγενημένη[19] ἀδιάσπαστος οὔτε δημοκρατία οὔτε ὀλιγαρχία οὔτε τυραννὶς οὔτε βασιλεία· αὕτη δὲ μόνη διαμένει συνεχὴς βασιλεία.

*The personal merit which gained him the kingdom.*

5. Ὥς γε μὴν καὶ πρὶν ἄρξαι[52a] ἄξιος τῆς βασιλείας ἐδόκει εἶναι Ἀγησίλαος τάδε τὰ[5a] σημεῖα. ἐπεὶ γὰρ Ἆγις βασιλεὺς ὢν ἐτελεύτησεν, ἐρισάντων[27] περὶ τῆς ἀρχῆς Λεωτυχίδα[3] μὲν ὡς Ἄγιδος ὄντος υἱοῦ, Ἀγησιλάου δὲ ὡς Ἀρχιδάμου, κρίνασα ἡ πόλις ἀνεπικλητότερον εἶναι[43a] Ἀγησίλαον καὶ τῷ γένει[19a] καὶ τῇ ἀρετῇ τοῦτον ἐστήσατο βασιλέα.[5a] καίτοι τὸ ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως[25a] ἀξιωθῆναι[30] ποίων ἔτι τεκμηρίων[26a] προσδεῖται τῆς γε πρὶν ἄρξαι αὐτὸν ἀρετῆς;[8]

*Soon after his accession he volunteers to cross over into Asia, and to assume the offensive against the Persian forces, so as to secure Greece from invasion.*

6. Ὅσα γε μὴν ἐν τῇ βασιλείᾳ διεπράξατο[48] νῦν ἤδη διηγήσομαι· ἀπὸ γὰρ τῶν ἔργων καὶ τοὺς τρόπους αὐτοῦ κάλλιστα νομίζω καταδήλους ἔσεσθαι. Ἀγησίλαος τοίνυν ἔτι μὲν νέος ὢν[38b] ἔτυχε τῆς βασιλείας·[22] ἄρτι δὲ ὄντος αὐτοῦ ἐν τῇ ἀρχῇ, ἐξηγγέλθη βασιλεὺς ὁ Περσῶν ἀθροίζων[43c] καὶ ναυτικὸν καὶ πεζὸν πολὺ στράτευμα ὡς ἐπὶ τοὺς Ἕλληνας· 7. βουλευομένων δὲ περὶ τούτων Λακεδαιμονίων καὶ τῶν συμμάχων, Ἀγησίλαος ὑπέστη, ἐὰν δῶσιν[53b, 47] αὐτῷ τριάκοντα μὲν Σπαρτιατῶν, δισχιλίους δὲ νεοδαμώδεις, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, διαβήσεσθαι[43a] εἰς τὴν Ἀσίαν καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι,[29c] ἢ ἂν πολεμεῖν βούληται ὁ βάρβαρος,

ἀσχολίαν αὐτῷ παρέξειν στρατεύειν[29d] ἐπὶ τοὺς Ἕλληνας. 8. εὐθὺς μὲν οὖν πολλοὶ πάνυ ἠγάσθησαν αὐτὸ τοῦτο τὸ ἐπιθυμῆσαι, ἐπειδὴ ὁ Πέρσης πρόσθεν ἐπὶ τὴν Ἑλλάδα διέβη, ἀντιδιαβῆναι ἐπ' αὐτόν, τό τε αἱρεῖσθαι ἐπιόντα[29b] μᾶλλον ἢ ὑπομένοντα μάχεσθαι αὐτῷ, καὶ τὸ τἀκείνου δαπανῶντα βούλεσθαι μᾶλλον ἢ τὰ τῶν Ἑλλήνων πολεμεῖν, κάλλιστον δὲ πάντων ἐκρίνετο μὴ περὶ τῆς Ἑλλάδος ἀλλὰ περὶ τῆς Ἀσίας τὸν ἀγῶνα καθιστάναι.[29a]

*Tissaphernes' treachery and Agesilaus' good faith.*

9. Ἐπεί γε μὴν λαβὼν[38b] τὸ στράτευμα ἐξέπλευσε, πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν[53e] ὡς ἐστρατήγησεν ἢ εἰ αὐτὰ διηγήσαιτο ἃ ἔπραξεν; 10. ἐν τοίνυν τῇ Ἀσίᾳ ἥδε πρώτη πρᾶξις[5] ἐγένετο· Τισσαφέρνης μὲν ὤμοσεν Ἀγησιλάῳ,[16] εἰ σπείσαιτο ἕως ἔλθοιεν[53] οὓς πέμψειε[43] πρὸς βασιλέα ἀγγέλους, διαπράξεσθαι αὐτῷ ἀφεθῆναι[29b] αὐτονόμους[5] τὰς ἐν τῇ Ἀσίᾳ πόλεις Ἑλληνίδας, Ἀγησίλαος δὲ ἀντώμοσε σπονδὰς ἄξειν[43a] ἀδόλως, ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας. 11. ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τοῦ εἰρήνην πράττειν[30] στράτευμα πολὺ παρὰ βασιλέως πρὸς ᾧ[7a] πρόσθεν εἶχε μετεπέμπετο. Ἀγησίλαος δὲ καίπερ αἰσθόμενος[58d] ταῦτα ὅμως ἐνέμεινε ταῖς σπονδαῖς.[15] 12. ἐμοὶ οὖν τοῦτο πρῶτον καλὸν δοκεῖ διαπράξασθαι[29c] ὅτι Τισσαφέρνην μὲν ἐμφανίσας ἐπίορκον ἄπιστον πᾶσιν ἐποίησεν, ἑαυτὸν δ' ἀντεπιδείξας πρῶτον μὲν ὅρκους ἐμπεδοῦντα,[43c] ἔπειτα συνθήκας μὴ ψευδόμενον, πάντας ἐποίησε καὶ Ἕλληνας καὶ βαρβάρους θαρροῦντας συντίθεσθαι ἑαυτῷ, εἴ τι βούλοιτο.

*Tissaphernes declares war.*

13. Ἐπεὶ δὲ μέγα φρονήσας[53a,f] ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι προεῖπεν Ἀγησιλάῳ[16] πόλεμον,

εἰ μὴ ἀπίοι[53a] ἐκ τῆς Ἀσίας, οἱ μὲν ἄλλοι σύμμαχοι καὶ Λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες[39] φανεροὶ ἐγένοντο, νομίζοντες[56a] μείονα τὴν παροῦσαν δύναμιν[5] Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς εἶναι· Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ[5a] ἀπαγγεῖλαι τῷ Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν ὡς πολλὴν χάριν αὐτῷ ἔχοι[43b] ὅτι ἐπιορκήσας[58c] αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο,[47] τοῖς δ' Ἕλλησι[10] συμμάχους ἐποίησεν.

*Tissaphernes is put on a false scent and outwitted.*

14. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις[16] παρήγγειλε συσκευάζεσθαι[44] ὡς εἰς στρατείαν· ταῖς δὲ πόλεσιν εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ[58b] ἐπὶ Καρίαν προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἴωσι καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις πέμπειν πρὸς αὐτὸν εἰς Ἔφεσον τοὺς συστρατευσομένους.[58a] 15. ὁ μὲν οὖν Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν[31] ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι[43a] αὐτῷ[10] διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὑτοῦ οἶκον εἰς Καρίαν ὁρμήσειν αὐτόν, τὸ μὲν πεζὸν ἅπαν[3] διεβίβασεν ἐκεῖσε, τὸ δὲ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιήγαγε, νομίζων ἱκανὸς[9] εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. 16. ὁ δὲ Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι[30] εὐθὺς ἀντιστρέψας ἐπὶ Φρυγίας[23] ἐπορεύετο· καὶ τάς τε ἐν τῇ πορείᾳ ἀπαντώσας δυνάμεις[8] ἀναλαμβάνων ἦγε καὶ τὰς πόλεις κατεστρέφετο καὶ ἐμβαλὼν ἀπροσδοκήτως παμπληθῆ χρήματα ἔλαβε. 17. στρατηγικὸν οὖν καὶ τοῦτο ἐδόκει διαπράξασθαι ὅτι ἐπεὶ πόλεμος προεῤῥήθη[32] καὶ τὸ ἐξαπατᾶν ὅσιόν τε καὶ δίκαιον ἐξ ἐκείνου ἐγένετο, παῖδα ἀπέδειξε τὸν Τισσαφέρνην τῇ ἀπάτῃ.[19a] φρονίμως δὲ καὶ τοὺς φίλους ἐνταῦθα ἔδοξε πλουτίσαι.

*Agesilaus looks to his friends' interest in the sale of the spoil.*

**18.** Ἐπεὶ γὰρ διὰ τὸ πολλὰ χρήματα εἰλῆφθαι[30] ἀντίπροικα τὰ πάντα ἐπωλεῖτο,[1a] τοῖς μὲν φίλοις προεῖπεν ὠνεῖσθαι,[41] εἰπὼν ὅτι καταβήσοιτο[43b] ἐπὶ θάλατταν ἐν τάχει τὸ στράτευμα κατάγων·[38f] τοὺς δὲ λαφυροπώλας ἐκέλευσε γραφομένους ὁπόσου[39a] τι πρίαιντο προΐεσθαι τὰ χρήματα. ὥστε οὐδὲν προτελέσαντες[53f] οἱ φίλοι αὐτοῦ οὐδὲ τὸ δημόσιον βλάψαντες πάντες παμπληθῆ χρήματα ἔλαβον.[40a] **19.** ἔτι δὲ ὁπότε αὐτόμολοι ὡς εἰκὸς πρὸς βασιλέα ἰόντες χρήματα ἐθέλοιεν[52, 40b] ὑφηγεῖσθαι, καὶ ταῦτα ἐπεμέλετο ὡς διὰ τῶν φίλων ἁλίσκοιτο,[50e] ὅπως ἅμα μὲν χρηματίζοιντο, ἅμα δὲ ἐνδοξότεροι γίγνοιντο. διὰ μὲν δὴ ταῦτα εὐθὺς πολλοὺς ἐραστὰς τῆς αὑτοῦ φιλίας ἐποιήσατο.

*His clemency towards his enemies, and dislike of harsh measures.*

**20.** Γιγνώσκων δ' ὅτι ἡ μὲν πορθουμένη[32, 58c] καὶ ἐρημουμένη χώρα οὐκ ἂν δύναιτο[55c] πολὺν χρόνον[34a] στράτευμα φέρειν, ἡ δ' οἰκουμένη μὲν σπειρομένη δὲ ἀέναον ἂν τὴν τροφὴν[9] παρέχοι, ἐπεμέλετο οὐ μόνον τοῦ βίᾳ χειροῦσθαι[33] τοὺς ἐναντίους, ἀλλὰ καὶ τοῦ πρᾳότητι[19a] προσάγεσθαι. **21.** καὶ πολλάκις μὲν προηγόρευε τοῖς στρατιώταις[16] τοὺς ἁλισκομένους μὴ[62a] ὡς ἀδίκους τιμωρεῖσθαι, ἀλλ' ὡς ἀνθρώπους ὄντας φυλάττειν, πολλάκις δὲ ὁπότε μεταστρατοπεδεύοιτο, εἰ αἴσθοιτο[40b] καταλελειμμένα παιδάρια παρὰ ἐμπόρων, ἃ πολλοὶ ἐπώλουν διὰ τὸ νομίζειν μὴ δύνασθαι ἂν φέρειν αὐτὰ καὶ τρέφειν, ἐπεμέλετο καὶ τούτων ὅπως συγκομίζοιντό[50d] ποι. **22.** τοῖς δ' αὖ διὰ γῆρας καταλειπομένοις αἰχμαλώτοις[8] προσέταττεν ἐπιμελεῖσθαι αὐτῶν, ὡς μήτε ὑπὸ κυνῶν μήθ' ὑπὸ λύκων διαφθείροιντο. ὥστε οὐ μόνον οἱ[5a] πυνθανόμενοι ταῦτα,